Die Gesetzestreue des Sokrates

Καὶ ὅτε οἱ τριάκοντα[1] προσέταττον αὐτῷ παρὰ τοὺς νόμους τι, οὐκ ἐπείθετο· προσταξάντων γὰρ αὐτῶν ἐκείνῳ τε καὶ ἄλλοις τισὶ ἀγαγεῖν τινα ἐπὶ θανάτῳ, μόνος οὐκ ἐπείσθη.

Καὶ ὅτε τὴν ὑπὸ Μελήτου γραφὴν ἔφευγε[2], ἐκεῖνος οὐδὲν ἠθέλησε τῶν εἰωθότων[3] ἐν τῷ δικαστηρίῳ παρὰ τοὺς νόμους ποιῆσαι, ἀλλὰ ῥᾳδίως ἂν ἀφεθείς, εἰ καὶ μετρίως τι τούτων ἐποίησε, προείλετο τοῖς νόμοις ἐμμένων ἀποθανεῖν ἢ παρανομῶν ζῆν.

---

[1] οἱ τριάκοντα — die Dreißig (Tyrannen)
[2] ἡ γραφή — Anklage(schrift)
γραφὴν φεύγω — unter Anklage stehen
[3] εἴωθα — gewohnt sein *(Präsens-Perfekt)*
τὰ εἰωθότα — die gewohnten Dinge, das Übliche